κρόν, εἰ βούλει, τὸ μηδὲν ἔτι μικρὸν ἡγεῖσθαι τῶν ἁμαρ-
τανομένων ἀλλ' ἐξευλαβεῖσθαι καὶ προσέχειν ἅπασιν. ὥσπερ E
γὰρ οἱ τὸ πλουτήσειν ἀπεγνωκότες ἐν οὐδενὶ τίθενται τὰ μικρὰ
δαπανήματα, μηθὲν οἰόμενοι ποιεῖν μέγα τὸ μικρῷ τινι προσ-
τιθέμενον, ἡ δ' ἐλπὶς ἐγγυτέρω τοῦ τέλους βαδίζουσα τῷ
πλούτῳ συναύξει τὴν φιλοπλουτίαν, οὕτως ἐν τοῖς πρὸς ἀρε-
τὴν πράγμασιν ὁ μὴ πολλὰ συγχωρῶν τῷ 'τί γὰρ τὸ παρὰ
τοῦτο;' καὶ 'νῦν μὲν οὕτως αὖθις δὲ βέλτιον', ἀλλὰ προσέχων
ἑκάστῳ κἂν εἰς τὸ μικρότατον ἡ κακία ποτὲ τῶν ἁμαρτημάτων
ἐνδῦσα συγγνώμην πορίζηται δυσανασχετῶν καὶ δυσκολαίνων
δῆλός ἐστιν ἤδη τι καθαρὸν κτώμενος ἑαυτῷ καὶ οὐδ' ὁπωσοῦν
ἀξιῶν ῥυπαίνεσθαι, τὸ δὲ †μηθὲν οἴεσθαι καταισχύνειν μέγα F
μηδὲ ἔχειν †εὐχερεῖς πρὸς τὰ μικρὰ ποιεῖ καὶ ὀλιγώρους. καὶ
γὰρ αἱμασιάν τινα καὶ θριγκὸν οἰκοδομοῦσιν οὐ διαφέρει
ξύλον τὸ τυχὸν ἢ λίθον ἐπιβαλεῖν χυδαῖον ἢ στήλην ὑποθεῖναι
παραπεσοῦσαν ἀπὸ μνήματος, οἷα ποιοῦσιν οἱ φαῦλοι, πᾶσαν
ἐργασίαν καὶ πρᾶξιν ὡς ἔτυχε συμφοροῦντες εἰς ταὐτὸ καὶ
σωρεύοντες· ἀλλ' οἵ γε προκόπτοντες, οἷς ἤδη, | καθάπερ 86
ἱεροῦ τινος οἰκοδομήματος καὶ βασιλικοῦ τοῦ βίου 'κεκρότη-
ται χρυσέα κρηπίς', οὐδὲν εἰκῇ προσίενται τῶν γιγνομένων,
ἀλλ' οἷον ἀπὸ στάθμης τοῦ λόγου προσάγουσι καὶ προσαρ-
μόττουσιν ἕκαστον, ὑπέρευ τὸν Πολύκλειτον οἰόμενοι λέγειν
ὡς ἔστι χαλεπώτατον αὐτῶν τὸ ἔργον οἷς ἂν εἰς ὄνυχα ὁ
πηλὸς ἀφίκηται.